## Tekst 2

*Dionysus maakt zichzelf bekend.*

Ἥκω Διὸς παῖς τήνδε Θηβαίαν χθόνα
Διόνυσος, ὃν τίκτει ποθ’ ἡ Κάδμου κόρη
Σεμέλη λοχευθεῖσ’ ἀστραπηφόρῳ πυρί·
μορφὴν δ’ ἀμείψας ἐκ θεοῦ βροτησίαν
πάρειμι Δίρκης νάμαθ’ Ἰσμηνοῦ θ’ ὕδωρ.
Ὁρῶ δὲ μητρὸς μνῆμα τῆς κεραυνίας
τόδ’ ἐγγὺς οἴκων καὶ δόμων ἐρείπια
τυφόμενα Δίου πυρὸς ἔτι ζῶσαν φλόγα,
ἀθάνατον Ἥρας μητέρ’ εἰς ἐμὴν ὕβριν.
Αἰνῶ δὲ Κάδμον, ἄβατον ὃς πέδον τόδε
τίθησι, θυγατρὸς σηκόν· ἀμπέλου δέ νιν
πέριξ ἐγὼ ’κάλυψα βοτρυώδει χλόῃ.
Λιπὼν δὲ Λυδῶν τοὺς πολυχρύσους γύας
Φρυγῶν τε, Περσῶν ἡλιοβλήτους πλάκας
Βάκτριά τε τείχη τήν τε δύσχιμον χθόνα
Μήδων ἐπελθὼν Ἀραβίαν τ’ εὐδαίμονα
Ἀσίαν τε πᾶσαν ἣ παρ’ ἁλμυρὰν ἅλα
κεῖται μιγάσιν Ἕλλησι βαρβάροις θ’ ὁμοῦ
πλήρεις ἔχουσα καλλιπυργώτους πόλεις,
ἐς τήνδε πρώτην ἦλθον Ἑλλήνων πόλιν,
τἀκεῖ χορεύσας καὶ καταστήσας ἐμὰς
τελετάς, ἵν’ εἴην ἐμφανὴς δαίμων βροτοῖς.
Πρώτας δὲ Θήβας τάσδε γῆς Ἑλληνίδος
ἀνωλόλυξα, νεβρίδ’ ἐξάψας χροὸς
θύρσον τε δοὺς ἐς χεῖρα, κίσσινον βέλος·
ἐπεί μ’ ἀδελφαὶ μητρός, ἃς ἥκιστ’ ἐχρῆν,
Διόνυσον οὐκ ἔφασκον ἐκφῦναι Διός,
Σεμέλην δὲ νυμφευθεῖσαν ἐκ θνητοῦ τινος
ἐς Ζῆν’ ἀναφέρειν τὴν ἁμαρτίαν λέχους,

Κάδμου σοφίσμαθ’, ὧν νιν οὕνεκα κτανεῖν
Ζῆν’ ἐξεκαυχῶνθ’, ὅτι γάμους ἐψεύσατο.
Τοιγάρ νιν αὐτὰς ἐκ δόμων ᾤστρησ’ ἐγὼ
μανίαις, ὄρος δ’ οἰκοῦσι παράκοποι φρενῶν,
σκευήν τ’ ἔχειν ἠνάγκασ’ ὀργίων ἐμῶν.
Καὶ πᾶν τὸ θῆλυ σπέρμα Καδμείων, ὅσαι
γυναῖκες ἦσαν, ἐξέμηνα δωμάτων·
ὁμοῦ δὲ Κάδμου παισὶν ἀναμεμειγμέναι
χλωραῖς ὑπ’ ἐλάταις ἀνορόφους ἧνται πέτρας.
Δεῖ γὰρ πόλιν τήνδ’ ἐκμαθεῖν, κεἰ μὴ θέλει,
ἀτέλεστον οὖσαν τῶν ἐμῶν βακχευμάτων,
Σεμέλης τε μητρὸς ἀπολογήσασθαί μ’ ὕπερ
φανέντα θνητοῖς δαίμον’ ὃν τίκτει Διί.

*Euripides, Bacchae 1-42*

*Aantekeningen*

| | | |
|---|---|---|
| *regel 3* | **λοχεύω** | bij de geboorte helpen |
| | **ἀστραπηφόρος** | bliksemdragend |
| *regel 4* | **βροτήσιος** | sterfelijk |
| *regel 7* | **τὸ ἐρείπιον** | ruïne |
| *regel 8* | **τύφομαι** | roken |
| *regel 10* | **ἄβατος** | ontoegankelijk |
| *regel 11* | **ὁ σηκός** | heiligdom |
| *regel 12* | **βοτρυώδης** | vol druiven |
| *regel 13* | **πολύχρυσος** | rijk aan goud |
| *regel 14* | **ἡλιόβλητος** | door de zon getroffen |
| *regel 15* | **δύσχιμος** | winters |
| *regel 17* | **ἁλμυρός** | zout |
| *regel 18* | **μιγάς** | gemengd |
| *regel 19* | **καλλιπύργωτος** | met mooie torens |
| *regel 24* | **ἀνολολύζω** | door kreten opschrikken |
| *regel 25* | **κίσσινος** | met klimop |
| *regel 31* | **ἐκκαυχάομαι** | beweren |
| *regel 32* | **οἰστράω** | opjagen |
| *regel 33* | **παράκοπος** | waanzinnig |
| *regel 36* | **ἐκμαίνω** | in razernij naar buiten jagen |
| *regel 37* | **ἀναμείγνυμι** | vermengen |
| *regel 38* | **ἀνόροφος** | zonder dak |
| *regel 40* | **ἀτέλεστος** | niet ingewijd |